ἄθλησαν ἐπ᾽ Ἀρχεμόρωι, τὸν ξανθοδερκής
πέφˈν᾽ ἀωτεύοντα δράκων ὑπέροπˈλος,
σᾶμα μέλλοντος φόνου.
ὦ μοῖρα πολυκˈρατές· οὔ νιν
πεῖθ᾽ Ὀϊκˈλείδας πάλιν
στείχειν ἐς εὐάνδρους ἀγ[υιάς.
ἐλπὶς ἀνθρώπων ὑφαιρ[εῖται νόημ]α·
ἃ καὶ τότ᾽ Ἄδˈραστον Ταλ[αϊονίδαν
col 19 (15) πέμπεν ἐς Θήβας Πολυνείκεϊ πλα.ι̣[‒ ‒ ◡ ‒
κείνων ἀπ᾽ εὐδόξων ἀγώνων
ἐν Νεμέα̣ι κλεινο[ὶ β]ροτῶν
οἳ τριετεῖ στεφάνωι
ξανθὰν ἐρέψωνται κόμαν.
Αὐτομήδει νῦν γε νικά-
)—— σαντί νιν δαίμων ἔ[δ]ωκεν.
Β′ πενταέθˈλοισιν γὰρ ἐνέπˈρεπεν ὡς
ἄστρων διακˈρίνει φάη
νυκτὸς διχομηνίδο[ς] ε̣ὐφεγγὴς σελάνα·
τοῖος Ἑλλάνων δι᾽ ἀπ̣[εί]ρονα κύκˈλον
φαῖνε θαυμαστὸν δέμ̣ας
δίσκον τροχοειδέα ῥίπτων,
καὶ μελαμφύλλου κλάδον
ἀκτέ̣ας ἐς αἰπεινὰν προπέμπων
αἰθέρ᾽ ἐκ χειρὸς βοὰν ὤτρυνε λαῶν